FFyL - UBA
Departamento de Lenguas y Literaturas Clásicas
Selección interna de aspirantes a cubrir cargos de Ayudantes de Primera de Lengua y Cultura Griega

**Temas para exposiciones orales**
**Grupo 3**
**(Exhibición: 13/11 – Exposiciones orales: 20/11)**

**Tema 1 (propuesto por la Prof. María Inés Crespo):**
Análisis filológico integral de *Antígona* 1230-1241
Ἔξελθε, τέκνον, ἱκέσιός σε λίσσομαι.
Τὸν δ' ἀγρίοις ὄσσοισι παπτήνας ὁ παῖς,
πτύσας προσώπῳ κοὐδὲν ἀντειπών, ξίφους
ἕλκει διπλοῦς κνώδοντας, ἐκ δ' ὁρμωμένου
πατρὸς φυγαῖσιν ἤμπλακ'· εἶθ' ὁ δύσμορος
αὑτῷ χολωθείς, ὥσπερ εἶχ', ἐπενταθεὶς
ἤρεισε πλευραῖς μέσσον ἔγχος, ἐς δ' ὑγρὸν
ἀγκῶν' ἔτ' ἔμφρων παρθένῳ προσπτύσσεται·
καὶ φυσιῶν ὀξεῖαν ἐκβάλλει ῥοὴν
λευκῇ παρειᾷ φοινίου σταλάγματος.
Κεῖται δὲ νεκρὸς περὶ νεκρῷ, τὰ νυμφικὰ
τέλη λαχὼν δείλαιος εἰν Ἅιδου δόμοις,

**Tema 2 (propuesto por la Prof. María Inés Crespo):**
Análisis filológico integral de *Troyanas* 1-12
ἥκω λιπὼν Αἰγαῖον ἁλμυρὸν βάθος
πόντου Ποσειδῶν, ἔνθα Νηρῄδων χοροὶ
κάλλιστον ἴχνος ἐξελίσσουσιν ποδός.
ἐξ οὗ γὰρ ἀμφὶ τήνδε Τρωϊκὴν χθόνα
Φοῖβός τε κἀγὼ λαΐνους πύργους πέριξ
ὀρθοῖσιν ἔθεμεν κανόσιν, οὔποτ' ἐκ φρενῶν
εὔνοι' ἀπέστη τῶν ἐμῶν Φρυγῶν πόλει·
ἣ νῦν καπνοῦται καὶ πρὸς Ἀργείου δορὸς
ὄλωλε πορθηθεῖσ'. ὁ γὰρ Παρνάσιος
Φωκεὺς Ἐπειὸς μηχαναῖσι Παλλάδος
ἐγκύμον' ἵππον τευχέων συναρμόσας
πύργων ἔπεμψεν ἐντός, ὀλέθριον βάρος.

**Tema 3 (propuesto por el Prof. Emiliano Buis):**
Proposiciones de relativo. Ejemplificación con pasajes de Sófocles y/o Platón.

**Tema 4 (propuesto por el Prof. Emiliano Buis):**
Análisis filológico completo de Aristófanes, *Nubes*, vv. 518-527:
ὦ θεώμενοι, κατερῶ πρὸς ὑμᾶς ἐλευθέρως
τἀληθῆ, νὴ τὸν Διόνυσον τὸν ἐκθρέψαντά με.
οὕτω νικήσαιμί τ᾿ ἐγὼ καὶ νομιζοίμην σοφὸς

ὡς ὑμᾶς ἡγούμενος εἶναι θεατὰς δεξιοὺς
καὶ ταύτην σοφώτατ᾽ ἔχειν τῶν ἐμῶν κωμῳδιῶν,
πρώτους ἠξίωσ᾽ ἀναγεῦσ᾽ ὑμᾶς, ἣ παρέσχε μοι
ἔργον πλεῖστον· εἶτ᾽ ἀνεχώρουν ὑπ᾽ ἀνδρῶν φορτικῶν
ἡττηθεὶς οὐκ ἄξιος ὤν. ταῦτ᾽ οὖν ὑμῖν μέμφομαι
τοῖς σοφοῖς, ὧν οὕνεκ᾽ ἐγὼ ταῦτ᾽ ἐπραγματευόμην.
ἀλλ᾽ οὐδ᾽ ὣς ὑμῶν ποθ᾽ ἑκὼν προδώσω τοὺς δεξιούς.

**Tema 5 (propuesto por el Prof. Ezequiel Rivas):**
Análisis morfosintáctico integral de Esopo, fábula 163.2 (A. Hausrath and H. Hunger, *Corpus fabularum Aesopicarum*, vols. 1.1, 2nd edn., Leipzig: Teubner, 1970)

λύκος λιμώττων περιῄει ζητῶν τροφήν. γενομένου δὲ αὐτοῦ κατά τινα τόπον ἤκουσε παιδίον κλαυθμυρίζον καὶ γραὸς λεγούσης αὐτῷ καὶ ἀπειλουμένης· „παῦσαι τοῦ κλαίειν, μήπως τῇ ὥρᾳ ταύτῃ ἐπιδώσω σε τῷ λύκῳ." οἰόμενος δὲ ὁ λύκος, ὅτι ἀληθεύει ἡ γραῦς, ἵστατο πολλὴν ὥραν ἐκδε- χόμενος. ὡς δὲ ἑσπέρα κατέλαβεν, ἀκούει πάλιν τῆς γραὸς κολακευούσης τὸ παιδίον καὶ λεγούσης αὐτῷ· „ἐὰν ἔλθῃ ἐνταῦθα ὁ λύκος, ὦ τέκνον, ἵνα φονεύσωμεν αὐτόν." καὶ ταῦτα ἀκούσας ὁ λύκος ἐπορεύετο λέγων· „ἐν ταύτῃ τῇ ἐπαύλει ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ ποιοῦσιν.”

ὁ μῦθος πρὸς ἀνθρώπους, οἵ τινες τὰ ἔργα οὐκ ἔχουσι κατὰ τοὺς λόγους.

**Tema 6 (propuesto por el Prof. Ezequiel Rivas):**
Análisis morfosintáctico integral de Eurípides, *Medea* 214-227
ΜΗ. Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων
μή μοί τι μέμψησθ'· οἶδα γὰρ πολλοὺς βροτῶν
σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο,
τοὺς δ' ἐν θυραίοις· οἱ δ' ἀφ' ἡσύχου ποδὸς
δύσκλειαν ἐκτήσαντο καὶ ῥαιθυμίαν.
δίκη γὰρ οὐκ ἔνεστ' ἐν ὀφθαλμοῖς βροτῶν,
ὅστις πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σαφῶς
στυγεῖ δεδορκώς, οὐδὲν ἠδικημένος.
χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει·
οὐδ' ἀστὸν ᾔνεσ' ὅστις αὐθαδὴς γεγὼς
πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.
ἐμοὶ δ' ἄελπτον πρᾶγμα προσπεσὸν τόδε
ψυχὴν διέφθαρκ'· οἴχομαι δὲ καὶ βίου
χάριν μεθεῖσα κατθανεῖν χρῄζω, φίλαι.

**Tema 7 (propuesto por  el Prof. Pablo Cavallero):**
Análisis filológico de Aristófanes, *Riqueza* 510-513.

**Tema 8 (propuesto por el Prof. Pablo Cavallero):**
Análisis filológico de Aristófanes, *Nubes* 877-885.

**Tema 9 (propuesto por la Prof. María José Coscolla):**
Proposiciones subordinadas sustantivas: ejemplificación con Sófocles.

**Tema 10 (propuesto por la Prof. María José Coscolla):**
Sófocles, *Filoctetes*, 1-11: análisis filológico completo.